νες μὲν, γλαυκόν. οἱ δὲ, τὴν βραδεῖαν. ὅτι ἀμολγὸν ἔστι κλέπτην τῶν δημοσίων. μολγοὺς γὰρ ἔλεγον, τοὺς ἐξαμέλγοντας καὶ κλέπτοντας τὰ κοινά. Ψωλὸν γενέσθαι.] ψωλὸς ὁ λειπόδερμος ὀξυτόνως. καὶ ἀκρόψωλος, ὁ ἐπὶ βραχὺ τοιοῦτος. ἢ ὁ ἀσχήμων κατὰ παρέκτασιν τοῦ μορίου. ἐνταῦθα δὲ ἰδίως ἐπὶ τῶν μέχρι πολλοῦ διεσκυλμένων. παρὰ δὲ Διφίλῳ ἐν τοῖς ἐναγίσμασι παραπεποίηται ἄχρι τοῦ λάρυγγος. Μέχρι τοῦ μυρρίνου.] μέχρι τῆς κεφαλῆς. ἐπειδὴ οἱ ἄρχοντες μυρρίνῃ ἐστεφανοῦντο. ἢ ἀπὸ τοῦ σκολύφθαι τὸ αἰδοῖον εἰς τέλος καὶ ὁλόκληρον. μύρτον δὲ πεποικιλμένον ἐκάλουν οἱ παλαιοὶ τὸ γυναικεῖον αἰδοῖον. Αλουργίδα.] πορφυρᾶν χλανίδα. ἐπειδὴ τὸ ῥόδον πορφυροῦν, τῷ στεφάνῳ τῶν ῥόδων τὴν ἁλουργίδα ἐπήνεγκεν. Χρυσοῦ διώξεις.] τῷ διώξεις ἔχοντι λόγον πρὸς τὰ προκείμενα, ἐπήνεγκε παρὰ τὴν φωνὴν, τὸ διώξεις Σμικύθην καὶ Κύριον. ὥσπερ ἐν ταῖς εἰσαγωγαῖς τῶν ἐγκλημάτων κηρύττειν εἰώθασιν, ἐπειδὰν γυναικὶ ἐπιφέρεται ἔγκλημα. οὕτω γὰρ προκαλεῖσθαι εἰώθασιν ἐν τῷ δικαστηρίῳ. ἡ δεῖνα καὶ ὁ κύριος, τουτέστιν ὁ ἀνήρ. ἅμα οὖν ὡς γυναικώδη τὸν Σμικύθην κωμῳδεῖ, καὶ ἔχοντα κύριον ὡς αἱ θήλειαι. ὁ δὲ Σμικύθης, Θρακῶν βασιλεύς. Κύριον δὲ, ἀντὶ τοῦ Κύρου τοῦ Αρταξέρξου τοῦ Περσῶν βασιλέως ὃς κατ᾽ ἐκείνους τοὺς χρόνους τῆς Λυδίας πεμφθεὶς σατραπεύειν, Λακεδαιμονίοις προσθεμένοις εἰς πόλεμον τὰ πρὸς Αθηναίους ἐχορήγησε χρήματα. ἄλλως. τὸν Σμικύθην κωμῳδεῖ ὡς κίναιδον. Κύριον δὲ λέγει τὸν ἄνδρα. οὕτω γὰρ ἐπεγράφοντο ἐν τοῖς δικαστηρίοις. Ασπασία καὶ κύριος. τουτέστιν ὁ Περικλῆς.

## ΧΟΡΟΣ.

Στροφὴ

Χο. Ἥδιστον φάος ἡμέρας
Ἔσται τοῖσι παροῦσι, καὶ
Τοῖσιν ἀφικνουμένοισιν,
Ἢν Κλέων ἀπόληται.
Καίτοι πρεσβυτέρων τινῶν,
Οἵων ἀργαλεωτάτων,
Ἐν τῷ δείγματι τῶν δικῶν,
Ἤκουσ᾽ ἀντιλεγόντων,
Ὡς εἰ μὴ γένοιθ᾽ οὗτος ἐν
Τῇ πόλει μέγας, οὐκ ἂν ἤστην σκεύει δύω χρησίμω,
Δοῖδυξ, οὐδὲ τορύνη.
Ἀλλὰ καὶ τόδ᾽ ἔγωγε θαυμάζω τῆς ὑομουσίας
Αὐτοῦ. φασὶ γὰρ αὐτὸν οἱ
Παῖδες, οἳ ξυνεφοίτων,
Τὴν δωριστὶ μόνην ἂν ἁρμόττεσθαι θαμὰ τὴν λύραν,
Ἄλλην δ᾽ οὐκ ἐθέλειν μαθεῖν,
Κᾆτα τὸν κιθαριστὴν
Ὀργισθέντ᾽ ἀπάγειν κελεύειν, ὡς ἁρμονίαν ὁ παῖς
Οὗτος οὐ δύναται μαθεῖν,
Ἢν μὴ δωροδοκιστί.

## CHORVS.

*Choriambici, Glyconij.*

κώλων κδ΄.

CH. *PRæsto lux erit optima*
*Nobis, qui modò viuimus:*
*Quique olim venient, Cleo*
*Si perdatur iniquus.*
*Quamquam in Digmate litium*
*Morosos aliquos senes*
*Audiui mihi dicere*
*Contrà: ni Cleo nobis*
*Isthic afforet, haud fore*
*Vasa vrbi duo commoda,*
*Pistillum & rudicellam.*
*Verùm miror & hoc ego,*
*Quenam hæc Musa suilla sit*
*Huius. Nam pueros ferunt,*
*Qui condiscipuli sunt:*
*Solùm carmina Doricæ*
*Plectro aptasse lyræ: neque*
*Vllam discere, præter hanc,*
*Tum iratum Cytharœdum*
*Iussurum, à se abeat: quia*
*Isthic nullam aliam puer*
*Possit discere Musicam:*
*Ni, quæ Dorica tinnit.*

Σχόλια. Ἥδιστον φάος.] κορωνίς. εἰσιᾶσι γὰρ ὑποκεῖται. καὶ ἐν εἰσθέσει τοῦ χοροῦ, ἐξὰς μονοστροφικὴ τετράκωλος οὖσα τὰς περιόδους ἐκ τριῶν γλυκωνείων ποτὲ μὲν ἐξ ἐπιτρίτου τετάρτου ποτὲ δὲ διτροχαίου. ἐν δὲ τῷ γ καὶ χοριάμβου. καὶ διιάμβου καὶ τοῦ φερεκρατείου. συνήπται δὲ τῇ λέξει καὶ μόνον διαμένει δὲ τὸ φερεκράτειον. ἐφθημιμερὲς δέ ἐστιν ἐξ ἐπιτρίτου τετάρτου, ἢ διτροχαίου καὶ βακχείου συγκείμενον. παράγραφοι δὲ, ἁπλοῖ μὲν ε. ἡ δὲ ς καὶ μετὰ κορωνίδος. ταῦτα δὲ παρὰ τὰ Εὐριπίδου. Τοῖσιν ἀφικνουμένοις. ἢ τοῖς μετὰ ταῦτα ἐσομένοις. ἢ καὶ τοῖς ἐπιδημοῦσι τῶν ξένων, ἵν᾽ ἐπιδείκνύῃ τὸν Κλέωνα κἂν τούτῳ πονηρὸν, ὅτι μηδὲ τούτων φείδεται, ἀλλ᾽ ἐπίσης ἅπαντας συκοφαντεῖ.

Bisetvs. Ἢν Κλέων] καὶ γὰρ αἱ πόλεις οὐδὲν αἴτιοι κακῶν, διὰ τοὺς κακοὺς κυβερνήτας κακῶς ἀκούουσι κατὰ τὸν Εὐριπίδην, ὃς ἐν Ἱκέτισιν οὕτω λέγει,

Τούς τ᾽ ἐξαμαρτάνοντας, οὐχὶ τὴν πόλιν
Ἤχθαιρ᾽. ἐπεί τοι κοὐδὲν αἰτία πόλις,
Κακῶς κλύουσα διὰ κυβερνήτην κακόν.

Οὐδὲν οὖν ἥδιον τῇ πόλεσι συμβαίνειν δύναται τοῦ τῶν κακῶν θανάτου, καὶ ὀλέθρου.

Σχόλια. Ἐν τῷ δείγματι τῶν δικῶν.] Σύμμαχος. σκέψασθε τί δή ποτέ ἐστι τὸ δεῖγμα τῶν δικῶν. παρεῖται γάρ φησιν. εἰ μὴ τὸ δεῖγμα τόπος ἐστὶν ἐν Πειραιεῖ, ἔνθα πολλοὶ συνήγοντο ξένοι καὶ πολῖται, καὶ ἐλογοποίουν. τὸ δὲ τῶν δικῶν προσέθηκεν, ἵνα διαβάλλῃ τὸ φιλόδικον τῶν Αθηναίων. ἄλλως. ἐν τῷ Πειραιεῖ ὅπου δικάζουσιν. ἐπεὶ ἐκεῖ οἱ ἔμποροι τὰ δείγματα τῶν πωλουμένων ἐτίθεσαν. ἅμα δὲ ἔσκωψε τὸ φιλόδικον τῶν Αθηναίων. Δοῖδυξ.] παροιμία δοῖδυξ